15/10/2023

Το Αποστολικό Ανάγνωσμα της Κυριακής Δ΄ Λουκά

/ Ορθόδοξες Προβολές

Ο Απόστολος Κυριακής Δ΄ Λουκά 15-10-2023 (Τίτ. γ΄ 8-15)

Τέκνον Τίτε, πιστὸς ὁ λόγος· καὶ περὶ τούτων βούλομαί σε διαβεβαιοῦσθαι, ἵνα φροντίζωσι καλῶν ἔργων προΐστασθαι οἱ πεπιστευκότες τῷ Θεῷ. Ταῦτά ἐστι τὰ καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις· μωρὰς δὲ ζητήσεις καὶ γενεαλογίας καὶ ἔρεις καὶ μάχας νομικὰς περιίστασο· εἰσὶ γὰρ ἀνωφελεῖς καὶ μάταιοι. Αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ, εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος.

Ὅταν πέμψω Ἀρτεμᾶν πρός σε ἢ Τυχικόν, σπούδασον ἐλθεῖν πρός με εἰς Νικόπολιν· ἐκεῖ γὰρ κέκρικα παραχειμάσαι. Ζηνᾶν τὸν νομικὸν καὶ Ἀπολλὼ σπουδαίως πρόπεμψον, ἵνα μηδὲν αὐτοῖς λείπῃ. Μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι καλῶν ἔργων προΐστασθαι εἰς τὰς ἀναγκαίας χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι. Ἀσπάζονταί σε οἱ μετ’ ἐμοῦ πάντες. Ἄσπασαι τοὺς φιλοῦντας ἡμᾶς ἐν πίστει. Ἡ χάρις μετὰ πάντων ὑμῶν· ἀμήν.

Απόδοση σε νεοελληνική ο Απόστολος Κυριακής Δ΄ Λουκά

Παιδί μου Τίτε, αὐτά τά λόγια εἶναι ἀληθινά καί θέλω νά τά βεβαιώνεις μέ τήν προσωπική σου μαρτυρία, ὥστε ὅσοι ἔχουν πιστέψει στό Θεό νά φροντίζουν νά πρωτοστατοῦν σέ καλά ἔργα. Αὐτά εἶναι τά καλά καί τά χρήσιμα στούς ἀνθρώπους. Ἀπό τό ἄλλο μέρος, νά ἀποφεύγεις τίς ἀνόητες ἀναζητήσεις σέ γενεαλογικούς καταλόγους, τίς φιλονικίες καί τίς διαμάχες γύρω ἀπό τίς διατάξεις τοῦ ἰουδαϊκοῦ νόμου, γιατί ὅλα αὐτά εἶναι ἀνώφελα καί μάταια. Τόν ἄνθρωπο πού ἀκολουθεῖ πλανερές διδασκαλίες συμβούλεψέ τον μιά δυό φορές, κι ἄν δέν ἀκούσει ἄφησέ τον, μέ τή βεβαιότητα πώς αὐτός ἔχει πιά διαστεφεῖ καί ἁμαρτάνει, καταδικάζοντας ἔτσι ὁ ἴδιος τόν ἑαυτό του.

Ὅταν θά σοῦ στείλω τόν Ἀρτεμά ἤ τόν Τυχικό, ἔλα τό συντομότερο νά μέ συναντήσεις στή Νικόπολη, γιατί ἐκεῖ ἀποφάσισα νά περάσω τό χειμώνα. Τό Ζηνά τό νομικό καί τόν Ἀπολλώ, νά τούς ἐφοδιάσεις πλουσιοπάροχα μέ ὅτι χρειάζονται γιά τό ταξίδι τους, ὥστε νά μήν τούς λείψει τίποτα. Ἄς μαθαίνουν καί οἱ δικοί μας νά πρωτοστατοῦν σέ καλά ἔργα, γιά ν΄ ἀντιμετωπίζουν τίς ἐπείγουσες ὑλικές ἀνάγκες, ὥστε ἡ ζωή τους νά μήν εἶναι ἄκαρπη. Σέ χαιρετοῦν ὅλοι ὅσοι εἶναι μαζί μου. Χαιρέτησε τούς πιστούς πού μᾶς ἀγαποῦν. Ἡ χάρη νά εἶναι μαζί μέ ὅλους σας. Ἀμήν.